eul_wid: ibq-aa

*Μένιππος ὁ Γαδαρεύς* · Menippus of Gadara

# Fragments on Cynic Law

*Ἀπόσπασμα περὶ Κυνικοῦ Νόμου*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἐπιστολή* Epistle

1 Μένιππος αὐτοπηρίταις.

2 Ὀρθῶς ποιεῖτε πεινῶντες διψῶντες ῥιγῶντες χαμευνοῦντες· ταῦτα γὰρ διατάττει νόμος ὁ Διογένειος, ὃς ἐγράφη κατὰ Λυκοῦργον νομοθέτην Λακεδαιμονίων· ἐὰν δέ τις ὑμῶν παρακούσῃ, παραδοθήσεται νόσῳ καὶ βασκανίᾳ καὶ λύπῃ καὶ πᾶσι τοῖς ἀπὸ τοῦ χοροῦ τούτου, λήψονται δὲ αὐτοὺς καὶ ποδάγραι καὶ βηχία καὶ φῦσαι βροντώδεις κάτωθεν, ὅτι ἐς νόμον δίκαιον καὶ θεῖον τὸν ἀπὸ Σινώπης ἠσέβησαν.